Εἰ δεήσει δ' ἐλθεῖν τὸν μέγαν δομέστικον εἰς ἡγεμονίαν τινὸς τῶν ἀρχόντων, τὸ ἐκεῖσε φωσσάτον τοῦτον ἐρωτῶσι, καὶ περὶ τῆς ἑαυτῶν κεφαλῆς τό, τί γενέσθαι.

Περὶ στεφηφορίας βασιλέως.

Τοῦ μέλλοντος στεφθήσεσθαι, κατὰ τὴν πρὸ τῆς ἡμέρας ἐκείνης ἑσπέραν εἰς τὸ μέγα παλάτιον ἐρχομένου μετὰ τῶν ἀρχόντων καὶ τῶν ἄλλων οἰκιακῶν αὐτοῦ, καὶ διανυκτερεύοντος· διαλαμπούσης ἡμέρας συναθροίζονται ἐκ πρωΐας εὐθὺς οἵτε ἀξιώματα ἔχοντες, τὸ φωσσάτον τε, καὶ τὸ λοιπὸν ἅπαν πλῆθος τῆς πόλεως πανδημεί. περὶ ὥραν τῆς ἡμέρας ταύτης δευτέραν ἀπέρχεται μὲν ὁ νέος βασιλεὺς εἰς τὴν ἁγίαν Σοφίαν. εἰθισμένον δὲ ὂν τὴν τῆς αὐτοῦ πίστεως ὁμολογίαν οἰκείαις χερσὶν ἐγγράφως παραδιδόναι, ποιεῖ τοῦτο οὕτως.

Ὁ δεῖνα ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, οἰκείᾳ χειρὶ προέταξα. οὕτω μὲν ὁ * στέφανος τῆς ἑαυτοῦ προστάσεων ὁμολογίας γράφει. ἂν δὲ υἱὸς αὐτῷ ᾖ, εἰ μὲν ἐκδίδωσιν ὁ πατήρ, γράφει καὶ αὐτὸς προστάσσων οὕτως, ἤτοι αὐτοκράτωρ Ῥωμαίων, * εἰ δ' οὖν ἐν Χριστῷ τῷ θεῷ βασιλεὺς Ῥωμαίων ὁ δεῖνα.

* στεφανωθείς.

* ἢ δ' οὖν.

Πιστεύω

Si venire oportuerit magnum Domeſticum ad præfecturam alicuius è principibus, [1]milites qui illic ſunt eum conſulunt, etiam ante ducem ſuum, quid facto opus.

De coronatione Imperatoris.

Qui coronãdus eſt, pridiana veſpera diei illius venit in magnum palatium cũ principibus & aliis domeſticis ſuis, noctemq; tranſigit: luceſcente die congregantur ſtatim inde à diluculo tum qui dignitates habent, militesq;, tum vniuerſa multitudo ciuitatis reliqua promiſcuè ex omni populo. Sub horam ſecundam diei illius abit quidẽ Imperator nouus ad ſanctæ Sophiæ: cúmque illud ſit in more poſitum vt de ſcripto propriis manibus confeſſionẽ fidei ſuæ tradat, id facit in hunc modum.

Ego N. fidelis in Chriſto Deo Rex & Imperator Romanorũ propria manu præfiniui. Sic inſcribit qui coronatus eſt, præfiniens confeſſionem ſuam. Quòd ſi filius eſt ipſi, ſi quidem attribuit pater, is quoque præfiniens ſcribit in hunc modum, aut Imperator Romanorum, aut in Chriſto Deo Rex Romanorum ego N.

Credo

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ τὸ λοιπὸν τοῦ ὅρου τῆς πίστεως μέχρι τέλους· καὶ μετὰ τοῦτο, ἔτι στέργω καὶ ὁμολογῶ, καὶ βεβαιῶ τὰς ἀποστολικὰς καὶ θείας παραδόσεις· ἀλλὰ μὴν καὶ τὰς διατάξεις καὶ διατυπώσεις τῶν ζ. οἰκουμενικῶν συνόδων, καὶ τῶν κατὰ καιροὺς τοπικῶν· ἔτι δὲ καὶ τὰ προνόμια καὶ ἔθιμα τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας. προσέτι γε μὴν βεβαιῶ καὶ στέργω ὅσαπερ ἐδογμάτισαν καὶ ἐθέσπισαν οἱ κατὰ τόπους ἁγιώτατοι πατέρες ἡμῶν ὀρθῶς καὶ κανονικῶς καὶ ἀνεπιλήπτως. ὡσαύτως ὑπισχνοῦμαι ἐμμένειν καὶ διηνεκῶς εὑρίσκεσθαι πιστὸς καὶ γνήσιος δοῦλος καὶ υἱὸς τῆς ἁγίας ἐκκλησίας· πρὸς τούτοις εἶναι καὶ δεφένσωρ καὶ ἐκδικητὴς αὐτῆς, καὶ εἰς τὸ ὑπήκοον εὐμενὴς καὶ φιλάνθρωπος κατὰ τὸ εἰκός τε καὶ πρέπον· καὶ ἀπέχεσθαι φθόνων καὶ ἀκροτηριασμῶν, καὶ τῶν ὁμοίων* τοῖς κατὰ τὸ δυνατόν· καὶ κατανεύειν τε εἰς πᾶσαν ἀλήθειαν καὶ δικαιοσύνην. καὶ ὅσα ἀπεβάλλοντο καὶ ἀνεθεμάτισαν οἱ ἅγιοι πατέρες, ἀποβάλλομαι καὶ ἀναθεματίζω καὶ αὐτός· καὶ πιστεύω ὅλῃ μου γνώμῃ καὶ ψυχῇ καὶ καρδίᾳ τῷ

* πύπις.

προει-

Credo in vnum Deum Patrem omnipotentem, factorē cæli & terrę, omniumq; viſibilium & inuiſibilium, & cætera [1] in expoſitione fidei comprehēſa ad finem vſq;. & poſteà: Adhæc colo & cōfiteor ſancioq; Apoſtolicas & diuinas traditiones: etiamq; cōſtitutiones & perſcriptiones ſeptem ſynodorum œcumenicarum, & earū quæ ſuis temporibus fuerunt certis locis habitæ: ac prætereà etiam leges & mores ſanctiſſimæ magnæ Dei Eccleſiæ. Inſuper etiam ſancio & colo quæcunq; dogmata poſuerunt & ſtatuerunt per loca ſua ſanctiſſimi Patres noſtri rectè, & ſecundùm canonem inculpateq;. Similiter polliceor me permanſurū & conſtanter futurū fidelem germanumq; ſeruum & filium ſanctæ Eccleſię: prætereà etiam fore [2] defenſorem vltoremq; eius, & placidum ad obſequium eius, humanumq; pro eo ac conuenit & decet: & abſtenturū ab inuidia & [3] concuſſionibus & aliis quę ſimilia ſunt his pro facultate mea, & inclinaturum in omnem veritatē & iuſtitiam. Item quæcunq; reiecerunt & ferierūt ſancti Patres anathemate reiicio & anathematizo ego quoq;: & credo tota mea mente & animo & corde ſancto Symbolo quod antè

dictum

περιειλημμένῳ ἁγίῳ συμβόλῳ. ταῦτα δὲ πάντα ὑπισχνοῦμαι φυλάττειν ἐνώπιον τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. κατὰ μῆνα τόνδε, εἰς τὰς τόσας, ἐν ἡμέρα καὶ ἰνδικτιῶνι τῇδε, τοῦδε τοῦ ἔτους. ὁ δὲ προστάσσων, τοῦτ' αὐτὸ πάλιν καὶ μετὰ τὴν τῆς πίστεως ἔκθεσιν ὑποτάσσων γράφει, ἤγουν τὸ, ὁ δεῖνα ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ βασιλεὺς Ῥωμαίων οἰκεία χειρὶ ὑποτάξας, παραδίδωμι τῷ παναγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ κυρῷ, καὶ τῇ μετ' αὐτοῦ θεία καὶ ἱερᾷ συνόδῳ.

Μετὰ τοῦτο τοίνυν ἀνέρχεται ἐπὶ τὸ βίκλινον τὸ λεγόμενον Θωμαΐτην πρὸς τὸν αὐγουστεῶνα ἀφορῶντα, ὅπου τὸ πλῆθος ἀπανίσταται μετὰ τοῦ φωσσάτου. πρὸ τοῦ φανεῖσθαι οὖν αὐτὸν, διά τινος τῶν συγκλητικῶν, ᾧ ἂν ὑποτάξοι ὁ βασιλεὺς, ῥίπτονται εἰς τὸν λαὸν ἃ λέγουσιν ἐπικόμβια. ἔστι δὲ τοιοῦτον. τμήματα ἐκ πανίων κόπτοντες, καὶ ἐν ἑκάστῳ τμήματι νομίσματα χρυσᾶ μὲν τρία, ἀργυρᾶ δὲ τοσαῦτα, καὶ τρία ἐξ ὀβόλων περιδήσαντες, ῥίπτουσιν εἰς τὸ πλῆθος. ῥίπτουσι δὲ τοιούτους ἀποδέσμους ἀριθμὸν χιλιάδων ὅσον ἂν προστάξοι ὁ βασιλεύς. εἰθισμένον δὲ ἐπιρρίπτειν τὰ τοιαῦτα ἐπικόμβια ἐν τοῖς προαυλίοις τοῦ τῆς μεγά-

dictum eſt. Hæc autem omnia me ſeruaturum polliceor coram ſancta Dei Eccleſia catholica. Menſe N. ad tantas N. die & indictione N. hoc anno N. Qui autem pręfiniuit, idem rurſus quoq; poſt expoſitionē fidei ſuæ ſubiiciens ſcribit, aut hæc verba, ego N. in Chriſto Dèo fidelis Rex & Imperator Romanorum, aut, Rex Romanorum propria manu ſubſcripſi, & trado ſanctiſſimo Domino meo & Oecumenico Patriarchæ [1]Cyro & diuino ſanctoq; cœtui qui cum ipſo eſt.

Poſteà igitur aſcendit in tricliniū quod appellatur [2]Thomaites, quod ſpectat [3]Auguſtale verſus, vbi multitudo populi aſſurgit cum militib. Antequàm verò ſe videndum exhibeat per aliquē ordinis Senatorij cui mandauit Imperator iaciuntur in populum miſſilia quę vocant [4]epicombia. Id huiuſmodi eſt. Segmenta ex panno fiunt, & in ſegmēto vnoquoq; nomiſmata aurea quidem tria, argentea verò totidē, & tria obolaria colligantes proiiciunt in multitudinē. Proiiciuntq; faſciculos huiuſmodi pro eo numero chiliadum quem Imperator præceperit. Moris autē eſt, vt proiiciantur miſſilia hæc in areis quæ ſunt ante veſtibulum

templi

μεγάλης ἐκκλησίας ναοῦ, ἤγουν ἐν ᾧ εἴρηται αὐγουστεῶν, ἱσταμένου τοῦ μέλλοντος ἐπάνω τῶν τοῦ αὐγουστεῶνος βαθμίδων. μετὰ δὲ τοῦτο, ὁ νέος βασιλεὺς ἐπὶ σκουταρίου καθεσθεὶς ἐπαίρεται εἰς ὕψος, καὶ φαίνεται πᾶσι τοῖς κάτωθεν ἱσταμένοις πλήθεσι. κατέχουσι δὲ τὰ μὲν ἔμπροσθεν τῆς ἀσπίδος αὐτός τε ὁ βασιλεὺς καὶ πατὴρ ἀναγορευομένου, ἐὰν ζῶν ᾖ, καὶ ὁ πατριάρχης· τὰ δὲ ἐκ πλαγίων καὶ ὄπισθεν, οἱ ἐν ἀξιώμασιν ὑπερέχοντες, ἤγουν δεσπόται, σεβαστοκράτορες, ἐὰν ὦσιν· εἰ δὲ μή, οἱ κρείττονες καὶ εὐγενέστεροι τῶν ἀρχόντων. εἰ δ' οὐκ ἔστι πατὴρ, τὰ μὲν τῆς ἀσπίδος ἔμπροσθεν ὁ ἐντιμότερος τῶν ἀξιωματικῶν ἢ τῶν ἀρχόντων μετὰ τοῦ πατριάρχου· τὰ δέ γε ὄπισθεν, οἷς εἴπομεν. ἐπευφημίσαντος δὲ τοῦ λαοῦ καὶ τοῦ φοσσάτου παντὸς, κατέρχεται μὲν ἀπὸ τοῦ σκουταρίου, ἄγεται δὲ εἰς τὸν τῆς ἁγίας σοφίας ναὸν, ὅπου δεῖ αὐτὸν στεφθήσεσθαι. ὑπάρχει δὲ ἐκεῖσε προκατεσκευασμένον ξύλινον οἴκημα μικρὸν ἕνεκα τῆς χρείας ταύτης· εἰς ὃ ξύλινον οἴκημα εἰσάγοντες τὸν νέον βασιλέα, ἐνδύουσι τὸν σάκκον, καὶ τὸ διάδημα, εὐλογούμενα ὑπὸ τῶν ἀρχιερέων. ἐπὶ δὲ τῆς κεφαλῆς αὐτοῦ, οὐ νενομισμένον τι φορεῖ, ἀλλ' ἢ στέφανον, ἢ ἕτερον ὅ, τι ἂν δόξῃ.

templi magnæ Eccleſiæ, ſiue in Auguſtali de quo diximus, ſtante eo qui proiicit ſuper Auguſtalis gradus. Poſteà verò Imperator nouus ſcuto inſidens in altum extollitur, & ſpectandus exhibetur omnibus turbis ſtantib. inferiore loco. Tenent autẽ partem anteriorem ſcuti tum ipſe Imperator & pater eius qui renunciatur, ſi in viuis eſt, tum Patriarcha: latera verò & poſteriorem partem ii qui ſummas dignitates obtinent: puta Domini, Sebaſtocratores, ſi qui ſunt: ſin minùs, potentiſſimi Principum & nobiliſſimi. Si verò non eſt pater, anteriorem ſcuti partem honoratiſſimus eorũ qui in dignitate ſunt aut Principũ cũ Patriarcha tenet; poſteriorem autẽ ii quos diximus. Poſtquã verò totus populus foſſatumq; fauſtis acclamationib. vſi ſunt, deſcendit ille à ſcuto deduciturq; in ædem ſanctæ Sophiæ, vbi illum oportet coronari. Eſt autem illic præparatum è ligno domicilium paruũ ad hũc ipſum vſum: quod in domicilium ligneum introducitur Imperator nouus, induiturq; ſago & diademate, quib. à principib. ſacerdotum benedictio eſt pronunciata. Super caput verò ſuũ nõ geſtat quidquã imperatum lege, ſed aut coronam, aut aliud quicquid

quid

δόξῃ. τούτων δὲ γινομένων τελεῖται ἡ λειτουργία. πλησίον δὲ οὗ εἴπομεν ξυλίνου οἰκήματος κατασκευάζεται ἐκ ξύλων ὁμοίως καὶ ἀναβάθρα, καὶ ἐνδύουσι ταύτην πάντοθεν διὰ βλατίων ἐρυθρῶν. ἐπάνω δὲ ταύτης τίθενται κατὰ τὸν ἀριθμὸν τῶν βασιλέων θρόνοι χρυσοῖ, οἱ τοιοῦτοι δὲ ὁποῖοι εἰσὶ καὶ ἄλλοι θρόνοι τῶν βασιλέων· ἀλλὰ τοσοῦτον ὑψηλοὶ, ὥστε ἔχειν βαθμίδας δ ἢ καὶ ε. ἐφ' οἷς ἐξερχόμενοι ἀπὸ τοῦ ξυλίνου οἰκήματος οἱ βασιλεῖς, ἐὰν μὴ εἷς, καθὼς εἴπομεν, ἀλλὰ πλείους ὦσιν, καθίζουσιν. ἀναβαίνουσι δὲ καὶ μετ' αὐτῶν καὶ αἱ δέσποιναι αἱ γυναῖκες αὐτῶν, καὶ καθίζουσι καὶ αὐταὶ ἐφ' ἑτέροις θρόνοις, παρισταμένων ἄνωθεν τῶν δεσποτῶν, καὶ τῶν βασιλισσῶν, ἡ μὲν οὖν προεστεμμένη καὶ μήτηρ τοῦ ἀναγορευομένου φοροῦσα καὶ τὸ ἑαυτῆς στέμμα, ἡ δὲ νέα βασιλὶς φοροῦσα στέφανον. τῆς οὖν θείας, ὡς εἴπομεν, τελουμένης λειτουργίας, περὶ τοῦ τρισαγίου ὕμνου, ἐξερχόμενος ὁ πατριάρχης τοῦ βήματος ἀναβαίνει ἐπὶ τὸν ἄμβωνα, καὶ μετ' αὐτοῦ οἱ ἐντιμότεροι τῶν ἀρχόντων τῆς ἐκκλησίας, τὰς ἱερὰς αὐτῶν φοροῦντες στολάς. σιωπῆς δὲ μεγάλης καὶ ἠρεμίας γινομένης ἐν τῷ ναῷ, πέμπων ὁ πατριάρχης προσκαλεῖται τοὺς βασιλεῖς, οἵτινες καὶ ἔρχονται ἐπὶ τὸν

ἄμβωνα.

quid videbitur. Atque his factis agitur liturgia. Prope domicilium autem illud ligneum de quo diximus, cōparatur ſimiliter è lignis etiā aſcenſus, quem etiā vndiquaq; induunt bracteis rubris: Et ſuper eum ponuntur de numero Regum throni aurei, & quidem tales throni quales ſunt etiam alij throni Regum, ſed vſq; adeò excelſi vt gradus quatuór habeant aut etiam quinq; : ad quos egreſſi ex ligneo illo domicilio Reges, ſi quidem non vnus (vt diximus) ſed plures fuerint, in eis conſident. Aſcendunt autem cum ipſis quoq; Dominæ vxores ipſorum, aſſidentq; illæ pariter in thronis aliis. Adſtantibus è ſuperiore loco Dominis & Reginis, ea quæ antè coronata fuit, nempe renunciati Imperatoris mater fert ipſa quoque inſigne ſuum, noua autem Regina coronam geſtat. Peracta igitur, vt diximus, diuina liturgia, antequam decantetur hymnus triſagij, exiens Patriarcha è ſolio ſuo aſcendit in ſacrum ſuggeſtum, & cum eo honoratiſſimi Principes Eccleſię geſtantes ſacras ſtolas ſuas. Silentio autem magno & quiete facta in æde illa, mittens Patriarcha aduocat Reges, qui etiam veniunt in

ἄμβωνα ὅπου ὁ πατριάρχης ἐστίν. ἐλθόντων δὲ ἀναγινώσκει οὗτος τὰς ἐπὶ χρίσεις βασιλέων συντεθειμένας εὐχάς, τὰς μὲν μυστικῶς, τὰς δὲ καὶ ἐκφωνῶν. ἱκετεύει δὲ καὶ εὐμενίζει τὸν θεὸν ὑπὲρ τοῦ μέλλοντος χρισθήσεσθαι βασιλέως. μετὰ δὲ ταῦτα ἐπαίρει μὲν ὁ νέος βασιλεὺς ὅ, τι ἂν φορῇ ἐπὶ κεφαλῆς· εὐθὺς δὲ πάντες ὅσοι εὑρίσκονται ἐν τῷ ναῷ ἀποκαλύπτουσι τὰς κεφαλὰς ἵστανται. ὁ δὲ πατριάρχης χρίει σταυροειδῶς τὴν κεφαλὴν τοῦ βασιλέως τῷ θείῳ μύρῳ, ἐπιλέγων μεγάλῃ τῇ φωνῇ τό, ἅγιος. οἱ δὲ ὄντες ἐν τῷ ἄμβωνι πάντες περὶ τὸν πατριάρχην, διαδεχόμενοι τὴν φωνὴν λέγουσι καὶ αὐτοὶ ἐκ τρίτου τό, ἅγιος. ὁμοίως δὲ καὶ τὸ λοιπὸν τοῦ λαοῦ πλῆθος ἐκ τρίτου λέγει τὸν αὐτὸν λόγον. μετὰ δὲ ταῦτα, εἰ καί τινες λέγουσιν ὅτι ἐπὶ τῆς ἁγίας τραπέζης κεῖται τὸ στέμμα τοῦ βασιλέως, ἀλλ' οὐκ ἔστι τοῦτο· ἐντὸς δὲ τοῦ ἁγίου βήματος κρατούμενον, ὑπὸ διακόνων τὰς ἱερὰς φορούντων στολὰς ἄγεται ἐπὶ τὸν ἄμβωνα. εἰ οὖν, ὡς προείπομεν, πάρεστιν ὁ βασιλεὺς καὶ πατὴρ αὐτοῦ, αὐτός τε καὶ ὁ πατριάρχης λαβόντες τὸ στέμμα ἐπιτιθέασι τῇ κεφαλῇ τοῦ νέου βασιλέως, καὶ ἐκφωνεῖ ὁ πατριάρχης τό, ἄξιος. εἰ δ' οὐκ ἔστι πατὴρ αὐτοῦ, ποιεῖ τοῦτο μόνος ὁ πατριάρχης. ὥσπερ δὲ πρότερον ἐν τῇ τοῦ μύρου τό, ἅγιος,

διαδε-

ſuggeſtum ſacrum vbi eſt Patriarcha: cúmque aduenerunt, legit ille preces compoſitas ad vnctiones Regum, alias ſummiſsè, alias etiam clara voce enuncians. Supplicat autem & propitium appellat Deum pro eo qui Rex vngendus eſt. Poſteaq; tollit Rex nouus quicquid in capite geſtat: & ſtatim quicunq; in æde verſantur aperiunt capita ſtantes. Patriarcha verò vngit ad formam crucis caput Regis diuino vnguento, pronuncians intereà magna voce, *ſanctus*. Omnes autem qui in ſacro ſuggeſto ſunt circùm Patriarcham, excipientes vocem eius dicunt ipſi quoq; tertiò, *Sanctus*. Etiamq; ſimiliter reliqua populi multitudo dicit eadem verba tertiò. Poſteà autem, etſi dicunt quidam ſuper ſancta menſa poſitũ eſſe inſigne Regis, non tamen ita eſt: ſed intus in ſancto ſolio cõtinetur, & à Diaconis geſtantibus ſacras affertur ad ſuggeſtum ſacrum. Si itaq; (vt antè diximus) adeſt Imperator & pater ipſius, ipſe & Patriarcha accipientes inſigne imponunt capiti noui Regis, & pronunciat Patriarcha verſum, *Dignus*. Quòd ſi non eſt pater ipſius, facit illud ſolus Patriarcha. Quemadmodum autẽ priùs in vnguenti applicatione hymnũ *ſanctus* dicũtur

διαδεχόμενοι, ὁμοίως καὶ ταύτην τὴν φωνὴν οἱ ἐπὶ ἄμβωνος καὶ τὸ λοιπὸν τοῦ λαοῦ πλῆθος βοῶσιν ἐκ τρίτου τὸ, ἄξιος· εἶτα ἀναγινώσκει πάλιν ὁ πατριάρχης εὐχὰς, καὶ κατέρχεται ὁ βασιλεὺς τοῦ ἄμβωνος· οὐκ ἐκ τοῦ μέρους μέντοι οὗπερ ἀνῆλθε, ἤως τοῦ πρὸς τὰς ὡραίας πύλας ὁρῶντος, ἀλλ' ἐκ τοῦ ἑτέρου τοῦ πρὸς τὸν *συλέαν καὶ τὸ ἅγιον βῆμα. ἐὰν οὖν συμβῇ μὴ ἔχειν κατὰ τὸν καιρὸν ἐκεῖνον γυναῖκα τὸν βασιλέα; εὐθὺς μετὰ τὸ κατελθεῖν τοῦ ἄμβωνος ἀνέρχεται πάλιν εἰς ἀναβάθραν, καὶ καθίζει ἐπὶ τοῦ θρόνου. εἰ δὲ ἔχει γυναῖκα, πᾶσα ἐστὶν ἀνάγκη στεφθῆναί τε καὶ αὐτὴν· γίνεται δὲ καὶ τοῦτο οὕτως. ἡ μὲν προεστεμμένη καὶ μήτηρ τοῦ νέου βασιλέως, ζῶντος μὲν τοῦ ἀνδρὸς αὐτῆς καὶ βασιλέως, τοῦ πατρὸς δηλονότι τοῦ νέου βασιλέως, ἵσταται στεφηφοροῦσα, κατέχουσα τῇ χειρὶ βάϊον χρυσοῦν, ἔχον τε ἀπὸ τῆς κορυφῆς καὶ κάτωθεν ὅσον σπιθαμιαῖον μῆκος μαργαριτάρια καὶ λιθάρια ἐμπεπηγμένα κύκλοθεν. εἰ δὲ τύχοι οὖσα χήρα, τὸ μὲν βάϊον κατέχει καὶ ἱσταμένη καὶ καθημένη· φορεῖ δὲ ἔνδυμα μέλαν λεγόμενον ἱμάτιον καὶ μανδύαν ὀξύν· ἡ δὲ νέα βασιλὶς ἱσταμένη καὶ αὐτὴ, καὶ κατεχομένη ἐξ ἑκατέρων τῶν μερῶν ὑπὸ δύο

συγγενῶν

* συλέαν ἢ συλεῖαν.

excipere, ſic etiam vocem hanc, *dignus*, qui in ſacro ſuggeſto ſunt & reliqua populi multitudo acclamant tertiò. Deinde iterum legit Patriarcha preces, & deſcendit Imperator è ſuggeſto ſacro, non ab eadem parte qua aſcendit, ſiue ab ea parte quæ ſpectat verſus ſpecioſas portas, ſed à parte altera quę[1] ad ſoléum &[2] aſcenſum ſacrum. Si ergo contingat vt per illud tempus Imperator vxorem non habeat, ſimul atque deſcendit de ſuggeſto ſacro, aſcendit rurſum in aſcenſum ſiue anabathram, & ſedet in throno. Quòd ſi vxorem habet, omnino neceſſe eſt, vt ipſa quoq; coronetur. Id autẽ fit etiam in hunc modũ. Quæ antè fuit coronata & mater Imperatoris noui, ſi adhuc vir ipſius & Imperator viuit, nimirum pater Imperatoris noui, ſtat coronam geſtans, tenens manu ramum aureum, qui habet à vertice deorſum verſus in tantã magnitudinem quanta eſt ſpithamæ margaritas & lapillos circumquaque. Quòd ſi fortè vidua eſt, ramum quidem tenet æquè ſtans ac ſedens: geſtat verò indumentum nigrum quod vocatur pallium & [3]mandyam ſanguineum. Regina autem noua ſtans ipſa quoque, & ex ambobus lateribus duobus

συγγενῶν τῶν γνησιωτάτων, ἢ εἰ μὴ ἔχοι γνησίους, ὑπ' εὐνούχων δύο, κατέρχεται ἀπὸ τῆς ἀναβάθρας, καὶ ἐρχομένη ἵσταται περὶ τοῦ σωλείου. κατερχόμενος οὖν τοῦ ἄμβωνος ὁ βασιλεὺς καὶ ἀνὴρ αὐτῆς λαμβάνει ἀπὸ τῆς τοῦ πατριάρχου χειρὸς τὸ στέμμα εὐλογηθὲν πρότερον παρ' αὐτοῦ, καὶ ἐπιτίθησι τῇ κεφαλῇ τῆς ἑαυτοῦ γυναικός· οὐχ ὅμοιον τῷ τοῦ βασιλέως, ἀλλ' ἕτερόν τι σχῆμα προητοιμασμένον ὑπάρχον, καὶ βασταζόμενον καὶ αὐτὸ ἢ ὑπὸ γνησίων, ὡς εἴρηται, συγγενῶν αὐτῆς, ἢ ὑπὸ δύο εὐνούχων. ἡ δὲ ἐπιτεθέντος τῇ κεφαλῇ αὐτῆς τοῦ στέμματος παρὰ τῆς τοῦ βασιλέως καὶ ἀνδρὸς αὐτῆς χειρός, εὐθὺς προσκυνεῖ τὸν βασιλέα καὶ ἄνδρα αὐτῆς, ὥσπερ ὁμολογοῦσα διὰ τῆς προσκυνήσεως ὑπ' αὐτὸν εἶναι καὶ ὑποτετάχθαι αὐτῷ. ὁ δὲ πατριάρχης πλησίον τοῦ *σωλέου ἱστάμενος καὶ αὐτός, ἀναγινώσκει ἑτέραν αὖθις εὐχὴν ὑπέρ τε τοῦ βασιλέως καὶ τῆς βασιλίδος, καὶ παντὸς τοῦ ὑπηκόου λαοῦ. καὶ οὕτω μὲν στεφόμενος ὁ βασιλεὺς στέφει καὶ τὴν ἰδίαν αὐτοῦ γυναῖκα. εἰ δὲ συμβῇ προεστεμμένον εἶναι τὸν βασιλέα, στέφεται ἡ βασιλὶς παρὰ τοῦ ἰδίου ἀνδρὸς ἢ βασιλέως. ὁμοίως ὅταν ἀγαγόμενος αὐτὴν εἰς γυναῖκα ἐπιτελῇ τὴν ἐπιγάμιον τελετήν. ἂν δέ, ὡς προείπομεν, γένηται μετὰ τὸ στέψαι μὲν τὸν νέον βασιλέα τὴν ἰδίαν

* σωλείου.

γυναῖκα

cognatis neceſſitudine coniunctiſſimis, aut ſi neceſſarios non habet, eunuchis duobus fulta deſcendit de anabathra, & veniēs cōſiſtit ante ſoléum. Deſcendens itaq; de ſuggeſto ſacro Imperator & vir ipſius accipit è manu Patriarchæ coronā priùs ab ipſo benedictam, & imponit capiti vxoris ſuæ: nō eam quidē ſimilē coronæ Imperatoris, ſed alia quadam forma antè comparatam: quę etiam geſtatur aut à germanis (vt dictū eſt) cognatis eius, aut à duob. eunuchis. Illa verò poſtquam capiti ſuo corona ab Imperatore & viro ſuo fuit impoſita ipſius manu, ſtatim honorē exhibet Imperatori & viro ſuo, quaſi honorifica illa ſignificatione profitens ſubeſſe ſe illi, & ei eſſe ſubditam. Patriarcha verò ipſe quoq; ſtās prope ſoléum, legit denuò precationem aliā pro Rege ſimul & Regina, vniuerſoq; populo ſubdito. Atq; in hunc quidem modū Imperator coronatus etiam coronat ſuā ipſius vxorem. Quòd ſi contigerit Imperatorē anteà fuiſſe coronatū, à proprio ſuo viro & Imperatore hæc Imperatrix coronatur. Similiter cùm ducens eam vxorē ſacra nuptialia perficit. Si verò (vt antè dicebamus) acciderit poſtquam nouus Rex coronauit ſuam ipſius

γυναῖκα καὶ βασιλίδα, ἐκείνην δὲ, ὡς εἴρηται, προσκυνῆσαι· ἀναβάντες καὶ οἱ δύο εἰς τὴν ἀναβάθραν, κάθηνται αὖθις ἐπὶ τὸν θρόνον, ὁ μὲν βασιλεὺς κατέχων σταυρὸν, ἡ δὲ νέα βασιλὶς βάϊον κατὰ τὸ εἰρημένον. καὶ τῆς μὲν ἄλλης μυσταγωγίας γινομένης κάθηνται οἱ βασιλεῖς. τοῦ τρισαγίου δὲ ὕμνου ᾀδομένου, ἢ τῶν ἀποστολικῶν γραφῶν, ἢ τῶν θείων εὐαγγελίων ἀναγινωσκομένων, ἀνίστανται καὶ αὐτοί. ἐξ ἑκατέρων δὲ μερῶν τοῦ ναοῦ ξυλίνων οὐσῶν ἀναβαθρῶν ἐπ᾽ αὐτὸ τοῦτο πεποιημένων, ἱστάμενοι ἐπάνω οἵτε πρωτοψάλται, καὶ οἱ δομέστικοι, καὶ οἱ ἀναγνῶσται, οὓς ἐξ ἔθους παλαιοῦ κράκτας ἐν ταῖς τοιαύταις ὀνομάζουσι πανηγύρεσι καὶ τελεταῖς, ψάλλουσιν ᾄσματα τινὰ συντελοῦντα καὶ ἡρμοσμένα εἰς τὰ τοιαῦτα. κατέχουσι δὲ ἐξ ἑκατέρων μερῶν ἀνὰ τρία κονταίρια, ἔχοντα ἕκαστον γύρους ἐκ ξύλων, ἐκκρεμαμένας ἔχοντα κύκλοθεν μετάξας κοκκίνας καὶ λευκὰς, ὅσον διασπιθάμους· ἃ καὶ μετὰ τὸ τελεσθῆναι τὴν λειτουργίαν προηγοῦνται τοῦ βασιλέως, τῶν κατεχόντων αὐτὰ προϊόντων καὶ ψαλλόντων μέχρι καὶ τοῦ μεγάλου παλατίου. τίνι δὲ τρόπῳ γίνεται τοῦτο, ὁ λόγος ζητεῖται. ἀρχομένου δὲ ψάλλεσθαι τοῦ ἐπὶ τῇ μεγάλῃ εἰσόδῳ σεμνοῦ, ἐρχόμενοι οἱ ἐντιμότεροι τῶν διακόνων τῆς ἐκκλησίας προσκαλοῦνται τὸν βασιλέα. ὁ δὲ ἔρχεται μετ᾽ αὐτῶν εἰς

τὴν

vxorem Reginamq;,illam pariter(vt dictũ est) honorem habere ipsi,tum ascendentes hi duo in anabathrã,insident rursum throno,Rexquidẽ tenens crucem,Regina verò noua ramum,prout dictum est. Dum autẽ reliqua mysteria peraguntur,Reges sedent: sed vbi hymnus trisagij canitur,aut scripturæ Apostolicæ aut Euangelia diuina leguntur,hi quoq; consurgunt.A partibus autem ambabus templi sunt ligneæ anabathræ ad hanc ipsam rem confectæ, super quas stant Protopsaltæ, Domesticique, & Lectores, [1]quos ex prisco more appellant κράκτας in conuentibus & sacris eiusmodi , psalluntq; cantica quædam conducentia & aptata ad res istas.Tenent autem ex ambabus partib. quasi treis contos qui habent singuli orbeis ligneos cum [2]metaxis coccineis & albis appendentib. circumquaq;, fermè duarũ spithamarum:iiq; postquam liturgia est consummata antecedunt Regi,pręeuntibus & psallentibus iis qui tenent illos ad magnum vsq; palatium. Sed quomodo factum sit illud,ratio quęritur.Cùm primùm autẽ psallitur graue cãticum in magno ingressu,venientes honoratissimi Diaconi Ecclesię accersunt Regem. Hic autẽ cum illis venit in

locum

τὴν λεγομένην πρόθεσιν, ἔνθα κεῖνται τὰ ἅγια. ἐκεῖ δὲ ἔξω τῆς προθέσεως ἱστάμενος, ἐνδύεται ἐπάνω τοῦ σάκκου καὶ τοῦ διαδήματος μανδύαν χρυσοῦν. καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατέχει τὸν σταυρὸν, ὡς συνηθές ἐστι κρατεῖν τὸν βασιλέα ὅταν καὶ τὸ στέμμα φορεῖ· τῇ δὲ ἀριστερᾷ κατέχει νάρθηκα. ἐπέχει γοῦν τότε τάξιν ἐκκλησιαστικὴν, ἣν καλοῦσι τοῦ δέ ποτε. κρατῶν οὖν ἀμφότερα ὁ βασιλεὺς, ἤγουν τὸν σταυρὸν καὶ τὸν νάρθηκα, προηγεῖται τῆς εἰσόδου πάσης· ἐξ ἀμφοτέρων δὲ τῶν μερῶν συμπαρακολουθοῦσιν αὐτῷ οἵ τε βάραγγοι πάντες πελεκυφόροι, καὶ νέοι εὐγενεῖς ἔνοπλοι περὶ ἑκατόν. οὗτοι μὲν οὖν ἀκολουθοῦσιν ἐκ πλαγίων, ὡς εἴρηται· ἐχόμενα δὲ τοῦ βασιλέως εὐθὺς μετ' αὐτὸν ἔρχονται οἵ τε διάκονοι, καὶ οἱ ἱερεῖς, σκεύη δέ τε ἄλλα τῶν ἱερῶν κρατοῦντες, καὶ δὴ καὶ αὐτὰ τὰ ἅγια. περιελθόντες δὲ κατὰ τὴν συνήθειαν τὸν ναὸν, ἔρχονται μέχρι καὶ τοῦ σωλέου. οἱ μὲν οὖν ἄλλοι πάντες ἵστανται ἐκτός· μόνος δὲ ὁ βασιλεὺς διερχόμενος τὸν σωλέα εὑρίσκει τὸν πατριάρχην ἱστάμενον εἰς τὰ ἅγια θύρια. τὰς οὖν αὐτῶν καὶ ἀμφοτέρων κεφαλὰς ὁ μὲν πατριάρχης ἔσωθεν, ὁ βασιλεὺς δὲ ἔξωθεν εἰς σχῆμα δῆθεν χαιρετισμοῦ κλίναντες ἵστανται. καὶ μετὰ τοῦτο ἔρχεται ὁ δευτερεύων τῶν διακόνων, τῇ μὲν δεξιᾷ χειρὶ κατέχων θυμιατόν· τῇ δὲ ἑτέρᾳ, τὸ λεγόμενον

ὠμοφό-

locum qui dicitur propoſitionis, vbi ſita ſunt[1] ſancta. Dũ verò adhuc ſtat extra propoſitionis locum, induitur ſupra ſagum & diadema mandya aureo: ac dextera quidẽ manu tenet crucem, prout moris eſt teneri à Rege quando & coronam geſtat, ſiniſtra verò tenet narthecium. Tunc itaq; ordinẽ ſeruat eccleſiaſticum, quem ipſius vocant. Vtrumq; igitur Imperator tenẽs, puta crucem atq; narthecium, præcedit per ingreſſum totum: ab vtraq; verò parte vnà comitantur ſequentes ipſum & Barangi omnes ſecurib. inſtructi, & nobiles armati iuuenes ad centum. Atq; hi ſequuntur ad latera, vt antè dictum eſt. Proximè verò Regem ſtatim poſt ipſum veniunt Diaconi & Sacerdotes, cùm alia ſacrorum inſtrumenta tenentes, tum verò ſancta ipſa. Circumeunteſq; de more templũ, veniunt ad ſoléum vſq;. Ac omnes quidẽ alij ſtant foris, ſolus verò Imperator prætergreſſus ſoliũ inuenit Patriarcham ſtantem ad[2] ſanctas fores. Itaque ſua amborum capita Patriarcha quidẽ intus, Imperator verò foris in ſpeciem puta ſalutationis inclinantes cõſiſtunt: poſteáq; venit ſecundarius Diaconorũ, dextera manu tenens thuribulũ, altera verò ὠμοφόριον,

humne-

ὠμοφόριον τοῦ πατριάρχου. καὶ εἰς μὲν τὸ παλαιὸν εἶχε καὶ ἡ ἐκκλησία ἀρχιδιάκονον, νῦν δὲ οὐδαμῶς· ἀλλ' ἔχει τοῦτον ὁ κλῆρος τοῦ βασιλέως. ἡ αἰτία ζητεῖται. ὡσαύτως οὐδὲ πρωτοψάλτην ἔχει ἡ ἐκκλησία, ἀλλὰ δομέστικον· ὁ δὲ βασιλικὸς κλῆρος καὶ ἀμφοτέρους. καὶ ὁ μὲν πρωτοψάλτης τοῦ βασιλικοῦ ἔξαρχος κλήρου· ὁ δέ γε δομέστικος τοῦ δεσποινικοῦ. καὶ πολὲ μὲν ἔχει καὶ ἡ ἐκκλησία ἕτερον δομέστικον παρὰ τὸν δεσποινικόν· πολὲ δὲ αὐτὸς ἀμφοτέροις τοῖς κλήροις ὑπηρετεῖ, ὥσπερ δὴ καὶ ὁ πρωτοπαπᾶς. ἔχει μὲν γὰρ ὁ βασιλεὺς πρωτοπαπᾶ εἰς τὸν κλῆρον αὐτοῦ· ἔχει δὲ καὶ ἡ ἐκκλησία. ἔστι δ' ὅτε ὁ αὐτὸς εὑρίσκεται καὶ εἰς ἀμφοτέρους τοὺς κλήρους. καὶ περὶ μὲν τούτων οὕτως. ὁ δευτερεύων δὲ τῶν διακόνων θυμιᾷ τὸν βασιλέα, καὶ κλίναντος αὐτοῦ τὴν κεφαλὴν βοᾷ μεγάλῃ τῇ φωνῇ τὸ, μνησθείη κύριος ὁ θεὸς τοῦ κράτους τῆς βασιλείας σας ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶτα ἐπιλέγει τὸ, ἀμήν. τὸ δ' αὐτὸ τοῦτο καὶ πάντες οἱ μετ' αὐτὸν ἐρχόμενοι λέγουσι διάκονοί τε καὶ μετ' αὐτοὺς ἱερεῖς. λέγουσι δὲ πάντες οὗτοι τοῦτο καὶ εἰς τὸν πατριάρχην, ἐρχόμενοι εἰς τὸ βῆμα, μνησθείη κύριος ὁ θεὸς τῆς ἀρχιερωσύνης σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ-

humerale (vt vocant) Patriarchæ. Habuit Ecclesia quoq; Archidiaconum, nunc verò minimè: sed eum habet Imperatoris clerus. De causa quæritur. Similiter neque Protopsaltem Ecclesia habet, sed domesticũ: Clerus autem Imperatoris etiam vtrumq;. Ac Protopsaltes quidem exarchus est cleri Imperatorij, Domesticus verò cleri quem habet Domina. Et modò etiam Ecclesia alterum habet Domesticum pręter eũ quem Domina, modò verò ministrat idem vtriq; clero, vt etiamnum Protopapa. Etenim habet Imperator Protopapam ad clerũ suum, habet verò etiam Ecclesia: interdum verò idem inuenitur pariter ad clerum vtrumq; constitutus. Atq; hæc quidem in hunc modum. Secundarius autem Diaconorũ facit suffitum Regi, eoq; caput inclinãte clamat voce magna, *Recordetur Dominus Deus potentiæ regni tui in regno suo vbiq;, nunc, & semper, & in secula seculorum:* deinde insuper dicit, *Amen.* Atque hoc idem quoque omnes qui post ipsum veniunt dicunt, tum Diaconi, tum Sacerdotes post ipsos. Dicunt verò hi omnes illud etiam Patriarchæ venientes ad suggestũ, *Recordetur Dominus Deus summi Sacerdotij tui vbiq;, nũc & semper, & in se-*

τας τῶν αἰώνων. τούτου δὲ τελειωθέντος, αὖθις τὸν πατριάρχην ὁ βασιλεὺς προσαγορεύσας ἀποδύεται ὅνπερ εἴπομεν χρυσοῦν μανδύαν. ἐπαίρειν δὲ αὐτὸν σύνηθες τὸν τῆς ἐκκλησίας ῥαφενδάριον. ὁ δὲ βασιλεὺς πάλιν ἐρχόμενος εἰς τὴν ἀναβάθραν κάθηται· ἀνιστάμενος μόνον εἴτε τῇ ἀναγνώσει τοῦ ἁγίου συμβόλου, καὶ ἐν τῇ τοῦ, πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, προσευχῇ, καὶ ἐν τῇ ὑψώσει τοῦ δεσποτικοῦ καὶ ἁγίου σώματος. γενομένης δὲ τῆς ὑψώσεως, εἰ μὲν οὐκ ἔστιν ὁ βασιλεὺς πρὸς κοινωνίαν ἕτοιμος, κάθηται ἐπὶ θρόνου μέχρι τέλους τῆς ἁγίας λειτουργίας. εἰ δὲ παρεσκευασμένος ἐστὶν εἰς τοῦτο, προσκαλοῦνται τοῦτον αὖθις οἱ προῤῥηθέντες διάκονοι. εἰσέρχεται ὁ βασιλεὺς μετ' αὐτῶν εἰς τὸ ἅγιον βῆμα, καὶ λαμβάνων θυμιατὸν θυμιᾷ τὴν ἱερὰν τράπεζαν σταυροειδῶς· πρῶτον μὲν κατ' ἀνατολάς, εἶτα πρὸς ἄρκτον, ἔπειτα πρὸς ἑσπέραν, καὶ μετὰ ταῦτα πρὸς μεσημβρίαν. εἶτα πάλιν πρὸς ἀνατολὰς θυμιῶν, θυμιᾷ καὶ τὸν πατριάρχην. αὐτὸς δὲ προσαγορεύσας, καὶ λαβὼν ἀπὸ τοῦ βασιλέως χειρὸς τὸν θυμιατὸν ἀντιθυμιᾷ τὸν βασιλέα. μετὰ δὲ ταῦτα ἐκβάλλων ὁ βασιλεὺς ἀπὸ τῆς αὐτοῦ κεφαλῆς τὸ στέμμα, ἐγχειρίζει τοῖς διακόνοις. ὁ δὲ πατριάρχης μετὰ τὸ κοινωνῆσαι τοῦ τιμίου σώματος, δίδωσι καὶ τῷ βασιλεῖ

εἰς τὰς

cula ſeculorum. Hoc autem conſummato, rurſum Imperator Patriarcham aduocans exuit aureũ mandyam quẽ diximus (Mos eſt autem vt eum tollat Eccleſiæ Referendarius) rurſumq; ad anabathrã veniens Imperator ſedet: exſurgens ſolùm in lectione ſacri ſymboli,& in oratione, *Pater noſter qui es in cælis*,& in eleuatione Dominici & ſancti corporis. Cùm autem ſit eleuatio, ſi ad communionem paratus nõ eſt Imperator, inſidet throno ſuo ad finem vſq; ſanctæ liturgiç: ſin autem ad illud paratus eſt,aduocant ipſum denuò Diaconi quos antè dicebamus: ingrediturq; Imperator cum eis in aſcenſum ſanctum,&accipiens thuribulum ſuffitum facit menſæ ſacræ in ſpeciem crucis, primùm quidem Orientem verſus, tum ad Septemtrionem, deinde ad Occidentem, poſteaq; ad Meridiem.Poſtmodũ verò cùm ad Orientem iterum ſuffitũ facit, facit ipſi quoq; Patriarchæ. Hic verò compellans,& accipiẽs thuribulum de Imperatoris manu, viciſſim ſuffitũ Imperatori facit. Poſteà verò deponens Imperator coronam de capite ſuo,tradit in Diaconorũ manus. Patriarcha autẽ poſtquàm communicauit pretioſum corpus,dat etiã Imperatori

in ma-

εἰς τὰς χεῖρας μερὶς τοῦ δεσποτικοῦ σώματος. οὗ καὶ μεταχὼν κοινωνεῖ ὁμοίως καὶ τοῦ ζωοποιοῦ αἵματος. κοινωνεῖ δὲ τοῦ μὲν πατριάρχου τὸν ἅγιον κρατῆρα κατέχοντος, αὐτὸς δὲ προσάγων τῷ κρατῆρι τὸ στόμα, ὥσπερ

* τὸ. καὶ οἱ ἱερεῖς. μετὰ δὲ * τῷ κοινωνῆσαι τῶν θείων μυστηρίων, περιθέμενος αὖθις τὸ στέμμα τῇ κεφαλῇ ἐξέρχεται τοῦ ἁγίου βήματος· καὶ τελεσθείσης τῆς ἱερᾶς λειτουργίας, καὶ τοῦ διαδιδομένου τῷ λαῷ ἁγιάσματος, ὃ φαμὲν ἀντίδωρον, αὖθις μεταχὼν, καὶ εὐλογηθεὶς παρά τε τοῦ πατριάρχου καὶ τῶν παρόντων ἀρχιερέων, καὶ κατασπασάμενος τὰς αὐτῶν χεῖρας ἀνέρχεται εἰς τὰ λεγόμενα κατηχούμενα. ξυλίνης δὲ κἀκεῖσε ἀναβάθρας μεγίστης οὔσης προκατεσκευασμένης, καὶ θρόνων τῶν καθ' ἡμέραν συνήθων ἐπικειμένων ἀνέρχονται ὅ, τε νέος βασιλεὺς, καὶ ἡ αὐτοῦ γυνὴ καὶ βασιλὶς, μετὰ τοῦ βασιλέως καὶ πατρὸς, καὶ δεσποίνης καὶ μητρὸς, συμπαρόντων καὶ τῶν εἰρημένων πρωτοψαλτῶν καὶ δομεστίκων. χρυσῶν δὲ βηλοθύρων τὴν ἀναβάθραν σκεπόντων ὥστε μὴ ὁρᾶσθαι τοὺς βασιλεῖς, οἱ ψάλται ᾄδουσιν τὸ, ἀνατείλαντα. αἰρουμένων οὖν εὐθὺς τῶν βηλοθύρων, εὐφημοῦνται οἱ βασιλεῖς ὑπὸ τῶν ἐν τοῖς κατηχουμένοις ὄντων ἁπάντων. γινομένου δὲ καὶ τούτου, κατέρχονται οἱ βασιλεῖς,

καὶ

in manus [1] partẽ corporis Dominici: & factus eius particeps similiter cõmunicat etiã sanguine viuifico. Communicat autem Patriarcha tenente craterem sanctum ipse os crateri admouens, quemadmodum & Sacerdotes. Postquam verò communicauit diuinis mysteriis, imposita rursum corona capiti exit è suggesto sancto: & postquã absoluta est sacra liturgia, vbi distributum populo sanctificationis signũ [2] quod vocamus ἀντίδωρον denuò participãs, est benedictione auctus à Patriarcha Sacerdotumq; principib. qui adsunt, & manus eorũ osculatus, ascendit in locũ qui vocatur [3] Catechumena. Lignea autem anabathra, sed mediocri, ibidem quoq; præparata, & thronis qui in dies singulos ordinarij sunt impositis ascẽdunt & nouus ille Rex, & vxor ipsius Reginaq;, cum Rege ac patre, & Domina ac matre sua, simul adstantib. etiam Protopsaltis & Domesticis de quibus diximus: aureisq; velarib. anabathrã hanc obtegentib. adeò vt nõ videantur Reges, Psaltæ canunt hymnũ, *Exortũ*. Repẽtè verò sublatis velarib. acclamationib. faustis excipiuntur Reges ab iis omnibus qui sunt in Catechumenis. Hoc autẽ pariter facto, descendunt Reges,

καὶ ἀπέρχονται μετὰ τῶν δεσποτῶν εἰς τὸ παλλάτιον στεφηφοροῦντες πεζῇ, ἀπὸ τοῦ δεσπότου μέχρι καὶ τοῦ μικροτέρου. ἦν δὲ πρότερον μὲν συνήθεια φορεῖν τὸν τοῦ βασιλέως ἵππον ἐν τῇ τοιαύτῃ πανηγύρει περὶ τὸν τράχηλον, καὶ ὄπισθεν τῆς σέλας ἐπάνω τῶν καπουλίων, ἅπερ ὀνομάζονται χαιώματα, ἐκ μαργάρων καὶ λίθων συγκείμενα· μικρὸν δ' ἄνωθεν τῶν ἀστραγάλων περιδεδεμένας μετάξας ἐρυθρὰς, ἅπερ ὀνομάζονται τούβια. νῦν οὖν τὰ μὲν ἄλλα οὐκ εἰσί· τὸ δὲ τῶν τουβίων γίνεται. τραπέζης δὲ ἐκεῖσε προητοιμασμένης οὔσης, καθήμενοι εὐωχοῦνται στεφηφοροῦντες· ὑπηρετεῖ δὲ αὐτοῖς ὁ μέγας δομέστικος. ἂν δὲ μὴ ὑπάρχῃ μέγας δομέστικος, ὑπηρετεῖ ὁ δεσπότης, ἢ τις τῶν ἀξιωματικῶν· εἰ δὲ μή, ὁ ἐντιμώτερος παρισταμένων πάντων ἀρχόντων μετὰ τῶν ἑαυτῶν φορεμάτων. οὐ μὴν δὲ δίδονται πρὸς αὐτοὺς τότε μίνσοι. ταύτην οὖν τὴν ἡμέραν ἐκεῖσε μένοντες, τῇ μετ' αὐτὴν ἐν τοῖς ἄλλοις ἔρχονται παλατίοις· ὅπου καὶ αὖθις ῥίπτονται ἐπικόμβια, παρὰ μὲν συγκλητικοῦ τῷ λαῷ. ὁ δέ γε βασιλεὺς καὶ αὐτὸς κατὰ ταύτην τὴν ἡμέραν ἐξέρχεται μὲν ἐν τῇ αὐλῇ, ἐν ᾧ τόπῳ ἡ εἰκὼν ἐστι τοῦ μεγάλου μάρτυρος Γεωργίου. ἵσταται δὲ πλησίον αὐτοῦ ὁ τοῦ βασιλικοῦ βεστιαρίου ἄρχων, καὶ ἔχει ἐντὸς τοῦ ἱματίου αὐτοῦ νομίσματα χρυσᾶ κεχυμένα πολλά· ὧν καὶ

δραττό-

abeuntq; cum Dominis in palatium pedib. coronati, prosequētib. æquè dominis summis ac minimis. Antea verò fuerat consuetudo, vt equus Regis in eiusmodi conuētu circa collum & ponè sellam super [1] armos gestaret ea quæ nominantur [2] χαιώματα ex margaritis & gemmis constituta, & paulò supra talos metaxas rubras circumalligatas quæ nominantur [3] tubia. Nunc autem alia quidem illa non sunt in vsu, sed illud solùm quod de tubiis diximus. Mensa igitur illic antè comparata sedent conuiuanturq; coronati, & magnus Domesticus ministrat ipsis. Sin autē non est magnus Domesticus, ministrat Dominus aut aliquis eorum qui in dignitate sunt: sin minùs, honoratissimus omnium principum qui adsunt cum suis gestaminibus. Verùm non dantur eis tum missus. Eo itaq; die manentes illic, postridie veniunt in alia palatia: vbi etiam denuò iaciuntur missilia à Senatorio viro aliquo in populum. Imperator autē ipse quoque eodem die egreditur in aulam, & stat eo in loco vbi imago est magni illius martyris Georgij. Stat autem propè illum princeps vestiarij Imperatorij, habens in pallio suo nomismata aurea fusa multa: quæ ma-

στρατιόμενος ὁ βασιλεὺς σκορπίζει εἰς τοὺς περιεστῶτας ἄρχοντάς τε καὶ ἀρχοντόπουλα, ἐφ᾽ ὅσον ἂν δοκεῖ τοῦτο. αἴτιον δὲ τῆς τοιαύτης διαδόσεως τῶν νομισμάτων ἐστὶν, τὸ βούλεσθαι τὸν βασιλέα συνευφραίνεσθαι αὐτῷ ἄρχοντάς τε πάντας καὶ ἀρχοντόπουλα, καὶ τὸ φωσάτον, καὶ τὸν δῆμον, ἐσθίοντας καὶ πίνοντας ἐξ* αὐλωμάτων βασιλικῶν· δέκα δὲ ἐφεξῆς ἡμέρας, ἢ πλείους, ἢ ἐγγὺς ἐλάττους τύπων (οὐδὲ γὰρ ἐστὶ νενομισμένος ἀριθμὸς ἡμερῶν, ἀλλ᾽ ὅπως ἂν βούλοιτο ὁ βασιλεὺς) ἑορτάζουσι παντελῶς, τὰς συνήθεις καθημερινὰς στολὰς λαμπρὰς καὶ πολυτελεῖς οὔσας φέροντες. γίνονται οὖν κατὰ ταύτας τὰς ἡμέρας ἃς εἴπομεν εὐωχίαι καὶ δεῖπνα πολυτελῆ· καὶ καθήμενοι οἱ τῆς συγκλήτου πάντες εὐωχοῦνται εὐφραινόμενοι ἔμπροσθεν τῶν βασιλέων, εὐωχουμένων καὶ αὐτῶν ἐν τῇ ἑαυτῶν τραπέζῃ. ὑπηρετεῖ δὲ τότε αὐτοῖς ὁ δομέστικος, καὶ ὁ ἐπὶ τῆς τραπέζης· εἰ δ᾽ οὖν, τῶν ἐκ γένους τὶς τοῦ βασιλέως ἀσκεπὴς, ᾧ ἂν ἐπιτάξοι ὁ βασιλεύς. ὁ δὲ μέγας δομέστικος ἐν τῷ προσήκοντι αὐτῷ τόπῳ μετὰ τῶν ἄλλων συγκλητικῶν ἀνακείμενος καὶ αὐτὸς εὐωχεῖται. ἡ τοιαύτη δὲ τάξις ἀπαραλλάκτως γίνεται καὶ ἐν τοῖς γάμοις τῶν βασιλέων.

* ἀϋλωμάτων.

Ἰστέον

nipulatim ſumens etiam Imperator diſpergit in circumſtantes tum Principes, tum pueros Principum, quantum id videtur. Cauſa verò cur nomiſmata iſta diſtribuantur eſt, quòd Imperator cupiat vnà cum ipſo hilari animo eſſe Principes omnes Principumq; pueros, & foſſatum, ac populum, cōedentes & bibentes de Imperatoris ſumtibus. Deinceps autem dies decem, aut ampliùs, aut minùs fermè (non enim dierum numerus lege pręſtitutus eſt, ſed prout Imperator voluerit) omnino feriantur, conſuetas ſuas diurnas veſtes ſplēdidas pretioſaſq; ferentes. Fiunt igitur per dies illos cōuiuia quæ diximus & prandia ſumtuoſa: ſedenteſq; omnes Senatorij ordinis conuiuantur hilares coram Imperatoribus, qui & ipſi conuiuantur in ſua ipſorum menſa. Tunc autem miniſtrat eis Domeſticus & Præfectus menſæ:[1] ſin minùs, aliquis de Imperatoris gente aperto capite, cuicunque Imperator mandauerit. Magnus verò Domeſticus in loco qui conuenit ipſi cum aliis viris Senatoriis accumbens ipſe quoque conuiuatur. Huiuſmodi autem conſtitutio immutabiliter obſeruatur etiā in nuptiis Imperatorum.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ὁ βασιλεὺς ἐν τῇ εὐλογήσει τὸ αὐτοῦ φέρει στέμμα, εἰ περιϊστάμενόν ἐστι· κάθηται δὲ ἐν τῇ ἀναβάθρᾳ οὕτως ὡς ἐν τῇ στεφηφορίᾳ περιήρηται.

Δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι ὁπηνίκα φορεῖ τὸ ἑαυτοῦ στέμμα ὁ βασιλεὺς, ἢ ἐν προβλήσει πατριάρχου, ἢ δεσπότου, ἢ καθ' οἵαν δή τινα χρείαν ἄλλην, συνήθειά ἐστι παρίστασθαι τούτῳ τέσσαρες ἀπὸ τῶν ἐντιμοτέρων ἀρχόντων τῆς πολιτείας, ἀνὰ δύο ἐξ ἑκατέρου μέρους, φοροῦντας μὲν ἐπιλούρικα χρυσᾶ, σκαράνικα κόκκινα. κατέχοντας δὲ ἐν χερσὶν ἕκαστον ἀσπίδα στρογγύλην γεγραμμένον τὸν βασιλέα

* ἔχουσαν. *ἔχουσαν ἔφιππον, καὶ κοντάριον ἤγουν δόρυ, κεχρυσωμένον ἔχοντα ξύλον. τὰ μὲν οὖν κοντάρια ἤγουν δόρατα ταῦτα ὀνομάζονται ῥομφαῖαι· οἱ δὲ κατέχοντες, ῥομφαιοκράτορες.

Περὶ προβλήσεως δεσπότου.

Ποιοῦσιν ἐν τῷ τρικλίνῳ, ἔνθα ὁ βασιλικὸς ἵσταται θρόνος, διάφραγμα διὰ βλαττίων χρυσῶν, τόν τε θρόνον διαχωρίζον καὶ τὴν παράστασιν. καὶ τῶν μὲν ἀρχόντων τὰ οἰκεῖα φορούντων παράσημά τε σκαράνικα δηλονότι καὶ τὰ λοιπὰ, ὑποδύουσι τὸν δεσπότην ἄρχοντες, πρὸς οὓς ἂν ὁρίσοι ὁ βασιλεὺς, ἐντὸς τοῦ τρικλίνου περὶ τὸ ἀκρὸν, τά τε διβολία πέδιλα,

καὶ

Et illud quoq; ſciendum eſt, ferre Imperatorem coronam ſuam in benedictione, ſi propoſita eſt: ſic autē ſedere in anabathra, vt antè dictum eſt in coronatione.

Et id quoq; oportet cognoſci, cùm Imperator geſtat coronam ſuam, ſiue in deſignatione Patriarchæ, aut Domini, ſiue ad quamcumq; aliam neceſſitatē, moris eſſe vt adſint ei quatuor ex honoratiſſimis principum politicorum, binos puta ex vtroque latere, geſtantes prætextas vittatas loris aureas, & pallas coccineas: qui tenent in manibus quiſq; ſcutum rotundū habens equeſtrem Imperatorem depictum, & contum ſiue haſtam de aurato ligno. Atq; hi quidē conti ſiue haſtę nominantur romphææ, & qui tenent eas, ῥομφαιοκράτορες.

De Domini deſignatione.

Fit in triclinio vbi thronus Imperatoris eſt conſtitutus, diſſepimentum cū bracteis aureis, quod thronum illum & circumſtationem diſparat. Ac principib. quidē propria geſtantibus inſignia, videlicet pallas & cætera, Dominū induunt Principes, quoſcunq; determinauerit Imperator, in triclinio extremum verſus, & bilicibus calceis,

καὶ καββάδιον ὀξὺ, ἢ κόκκινον μαργαριτα-
ρένον. ὁ δὲ βασιλεὺς φορῶν ἐν τῷ κελλίῳ αὐ-
τοῦ τὸ στέμμα καὶ τὰ λοιπὰ, ἔρχεται ὅπου ἐ-
στὶν ὁ θρόνος αὐτοῦ. τοῦ γοῦν διαφράγματος
ἀνοιγέντος, πολυχρονίζουσι πάντες· εἶτα τῶν
ἐντιμοτέρων ἄρχοντες δύο φέρουσι τὸν πρό-
ψηφον δεσπότην, καὶ ἱστῶσιν ἔμπροσθεν τοῦ
βασιλέως, καὶ λέγει πρὸς αὐτὸν ὁ βασιλεὺς
ἱστάμενος οὕτως, ἡ βασιλεία μου προβάλλε-
ταί σε δεσπότην· καὶ αὐτίκα πάλιν πολυχρο-
νίζουσι πάντες.

Ἰστέον δὲ ὅτι οὐχ ὅτε μόνον προβάλλεται
*ὁ βασιλεύς. δεσπότης, *ὅταν ὁ βασιλεὺς ἵσταται· ἀλλὰ καὶ
ὁπηνίκα τῶν ὀφφικίων ποιήσῃ τι, κἂν ἐλάχι-
στον ᾖ, ἱστάμενος τοῦτο ποιεῖ. ὁ δέ γε δεσπότης τὸν
τοῦ βασιλέως ἀσπάζεται πόδα. ἀναστάντος
οὖν, ὁ βασιλεὺς περιτίθεσιν οἰκειοχείρως τῇ
*αὐτοῦ. *ἑαυτοῦ κεφαλῇ στέφανον διὰ λίθων καὶ μαρ-
γάρων, ἔχοντα καμάρας μικρὰς τέσσαρας
ἔμπροσθέν τε καὶ ὄπισθεν, καὶ ἐκ πλαγίων,
*βασιλέως. εἰ ἄρα ὁ χειροτονηθεὶς *βασιλεὺς υἱός ἐστιν. εἰ δὲ
γαμβρὸς τύχοι ὤν, ἔμπροσθεν μόνον. ὃς δὴ
στέφανος καλεῖται καὶ στεμματογύριον· καὶ πο-
λυχρονίζουσιν αὖθις. ἔπειτα κλεισθέντος τοῦ
διαφράγματος, ὁ μὲν βασιλεὺς ἀπέρχεται
εἰς τὸ κέλλιον αὐτοῦ· ὁ δέ γε δεσπότης εἰς τὸ ἑαυ-
τοῦ οὕτω μετὰ τῶν ῥηθέντων φορεμάτων αὐτοῦ,

πάντων

& tunica honorata sanguinea aut coccina ornata margaritis. Imperator verò in cella sua gestans coronam & reliqua, in locũ venit vbi est thronus ipsius. Dissepimento igitur aperto, diuturnitatem acclamãt omnes: deinde Principes duo ex honoratissimis adducunt Dominum qui in sortẽ venit & sistunt corã Imperatore, & Imperator stans sic dicit ei, imperium meum designat te dominum, & statim rursum diuturnitatẽ acclamant omnes.

Sciendum autẽ est non solùm quando designatur Dominus, Imperatorem stare; verumetiam quando aliquod officiorum, quamuis minimũ, statuit, id stantem Imperatorem facere. Dominus autem osculatur Imperatoris pedem. Vt autẽ surrexit, apponit manu propria Imperator capiti illius coronã gemmis & margaritis ornatã, habentem [1]apsidas quatuor paruas antè & ponè, atq; ad latera, si is qui designatur filius Imp. est: sin autem gener, antè solùm. (Atq; hæc corona στεμματογύειον quoq; appellatur) iterumq; diuturnam vitam precantur. Posteà dissepimento clauso, abit quidẽ Imp. in cellam suã: Dominus verò in suam eodẽ modo cum suis gestaminib. quę antè diximus,

prose-

πάντων ἀρχόντων ἐφιππων ἀκολουθούντων αὐτῷ, ἑκάστων τὰ ἑαυτῶν φορούντων φορέματα, καθὰ προείρηται.

Περὶ προβλήσεως σεβαστοκράτορος.

Ἡ τοῦ σεβαστοκράτορος καὶ τοῦ καίσαρος πρόβλησις ἀπαραλλάκτως ὡς καὶ ἡ τοῦ δεσπότου γίνεται, πλὴν τῶν ἐπὶ κεφαλῆς φορεμάτων. ταῦτα γὰρ τὰ μὲν παλαιὰ ζητεῖται. ὁ δὲ βασιλεὺς ὁ Καντακουζηνὸς τοῖς γυναικαδέλφοις αὐτοῦ Μανουὴλ καὶ Ἰωάννῃ τοὺς Ἀσανίους τιμήσας σεβαστοκράτορας, ἐφόρεσε καὶ στεφάνοις διὰ λίθων ἠεραιέων καὶ μαργάρων, ἔχοντας ἕκαστον αὐτῶν ἔμπροσθεν ἀνὰ μίαν καὶ μόνην καμάραν. συναπέρχονται δὲ καὶ μετ᾽ αὐτοῦ εἰς τοὺς αὐτῶν *οἴκους. πάντες γὰρ ἄρχοντες μετὰ τῶν αὐτῶν φορεμάτων, καθὰ καὶ εἰς τὸ δικανίκιον ἀπὸ τῆς τοῦ βασιλέως χειρός· καὶ εὐλογῶν αὐτὸν εὐθὺς κατέρχεται. καθεσθέντων οὖν ἑκατέρων ἐπὶ τῶν θρόνων αὐτῶν, γίνεται ἡ εὐφημία τῶν βασιλέων καὶ τοῦ πατριάρχου. καὶ μετὰ τῆς εὐφημίας κλεισθέντος τοῦ διαφράγματος, ὁ μὲν βασιλεὺς εἰς τὸ κέλλιον αὐτοῦ, ὁ δὲ πατριάρχης ἀπέρχεται ἱππότης εἰς τὴν ἁγίαν Σοφίαν· τοῦ ἵππου αὐτοῦ περισκεπομένου σαγίσματι ἐκ πανίου λευκοῦ μέχρι καὶ κεφαλῆς. συναπέρχονται τὰ ἑαυτῶν ἐνδεδυμένοι περίσημα.

* οἴκους πάντες ἄρχοντες μ.

Ἰστέον

proſequentibus ipſum omnib. principibus in equis, & ſingulis geſtamina ſua ipſorum geſtantibus, vt antè dictum eſt.

De Sebaſtocratoris deſignatione.

Sebaſtocratoris & Cęſaris deſignatio citra mutationem vllam ſicut & illa Domini, exceptis geſtaminib. quæ capiti imponuntur. Nam illa quidem antiqua deſiderãtur: Catacuzenus verò Imperator fratres vxoris ſuæ Manuelem & Ioannē Aſanios afficiens honore Sebaſtocratorū, coronas etiā geſtari ab eis voluit cum gemmis coloris aerei & margaritis, ſingulas habētes ab anteriore parte vnam & ſolam apſidē. Simul autem cum ipſis abeunt in domos ipſorum omnes principes ſuis geſtaminibus inſtructi, quemadmodum etiam ad ſceptrū accipiendum de Imperatoris manu: cùm benedicto eo ſtatim diſcedit. Sedentibus igitur vtriſq; in thronis ſuis, fit fauſta acclamatio Regum atq; Patriarchæ: & poſt acclamationem fauſtam diſſepimento clauſo diſcedit Imperator in cellam ſuam, Patriarcha verò equo deuehitur ad ſanctę Sophiæ, circumtecto equo ipſius inſtrato ex pãno albo etiam ad caput vſq;. Simul autē abeuntes inſignibus ſuis induti ſunt.

Sci-

Ἰστέον δὲ ὅτι ὑποψήφιος ἔτι ὤν, καὶ ἐρχόμενος ὑποβληθῆναι, ἔξω τῆς τοῦ παλατίου αὐλῆς πεζεύειν· μετὰ δὲ τὴν προβλησιν, ἐντός. σκεπάζουσι δὲ καὶ τὸν ἵππον αὐτοῦ σαγίσματι, καθὼς εἴρηται.

Ἐπελθὼν οὖν εἰς τὴν ἁγίαν σοφίαν, μετὰ τὸ προβληθῆναι, ὡς δεδήλωται, *εὐωχεῖται μετὰ τῶν ἀρχιερέων καὶ τῶν ἀρχόντων τῆς ἐκκλησίας. ἐν δὲ τῷ τῆς αὐτοῦ χειροτονίας καιρῷ ἔρχεται μὲν ὁ βασιλεὺς εἰς τὴν ἁγίαν σοφίαν, τὴν καθ' ἡμέραν συνήθη φέρων στολήν. χειροτονεῖται δὲ ὁ πατριάρχης ὑπὸ τοῦ ἡρακλείας· ἐπεὶ τῆς ἡρακλείας ἐπισκοπὴ ἦν τὸ βυζάντιον.

* εὐωχεῖται.

Περὶ χειροτονίας πατριάρχου.

Δεῖ δὲ γινώσκειν, ὅτι οἱ μὲν ἄλλοι ἀρχιερεῖς χειροτονοῦντες σφραγιζόμενοι ἐκ δευτέρου, τὴν μὲν πρώτην σφραγῖδα καλοῦσι μικράν· τὴν δὲ β. μεγάλην, ἥτις ἐστὶ χειροτονία. ὁ δὲ πατριάρχης χειροτονεῖται μόνον, ἐπεὶ ἡ τοῦ βασιλέως προβλησις ἀντὶ τῆς μικρᾶς λογίζεται σφραγῖδος. ὁμοίως καὶ ἀπαραλλάκτως γίνεται καὶ ἡ τῶν ἑτέρων πατριάρχων προβλησις, τοῦ τε ἀλεξανδρείας, τοῦ ἀντιοχείας, καὶ τοῦ ἱεροσολύμων· ἀλλὰ δὴ καὶ τοῦ ἀρχιεπισκόπου πρώτης ἰουστινιανῆς, ἀχρίδος καὶ πάσης βουλγαρίας. ἐπεὶ δευτέρα ἰουστινιανὴ ἐστὶν ἡ κύπρος· καὶ τρίτη ἡ καρχηδών. Οἱ

Sciendum autē eum, cùm adhuc eligendus eſt & in ſortionem venit, pedibus incedere extra aulam palatij: poſt deſignationē verò, intra aulam. Tegunt autem inſtrato equum ipſius quoq;, vt dictum eſt.

Veniens igitur ad ſanctæ Sophiæ, poſtquam deſignatus eſt, vt fuit declaratū, conuiuari ipſum cum ſummis Sacerdotibus & principibus Eccleſiæ. Quo autem eligēdus eſt tempore, venit Imperator ad ędem ſanctæ Sophiæ ferens cōſuetam ſuam & quotidianam ſtolam. Deſignatur verò Patriarcha à Metropolitano Heracleæ, quia Byzantium in epiſcopatu fuit Heracleæ.

De Patriarchæ deſignatione.

Sciendū autē eſt, ꝗ alij ſacerdotes ſummi electionē faciētes obſignāt bis, & [1]prius quidē ſigillū appellant minus, [2]ſecundū verò maius, quod eſt deſignatio. Patriarcha deſignatur ſolùm, quia ab Imp. facta deſignatio pro minore ſigillo ducitur. Similiterq; citra mutationem fit etiam deſignatio Patriarcharum aliorum, Alexādrię, Antiochiæ, & Hieroſolymorū: atq; adeò Archiepiſcopi Iuſtinianæ primæ, id eſt, [3]Achridos & totius Bulgariæ: nam Iuſtiniana ſecunda eſt Cyprus, & tertia Chalcedon. Ac

Οἱ μέντοι γε ἀρχιερεῖς μετὰ τὰς ψήφους αὐτῶν χειροτονούμενοι παρὰ τοῦ πατριάρχου, καθ' ἡμέρας τινὰς τῆς χειροτονίας αὐτῶν ποιῶν εὐχὴν ἕκαστος ὑπὲρ τῶν κρατούντων καὶ τοῦ ὑπηκόου, ἀπέρχεται προσκυνῶν τὸν βασιλέα, καὶ ἀναγινώσκει ταύτην, τῆς παραστάσεως ἱσταμένης. οἱ δέ γε ἀρχιμανδρῖται καὶ πρωτοσύγκελοι, ἀλλὰ δὴ καὶ καθηγούμενοι τῶν ἐντίμων μοναστηρίων, μετὰ τὸ τὴν σφραγῖδα παρὰ τοῦ πατριάρχου λαβεῖν, ἀπέρχονται καὶ προσκυνοῦσι καὶ οὗτοι, καὶ λαμβάνουσι τὸ δικαίκιον ἀπὸ τῆς τοῦ βασιλέως χειρός. καὶ οἱ μὲν ἀρχιερεῖς εἰς προσκύνησιν τοῦ βασιλέως, ὡς εἴρηται, ἐρχόμενοι μετὰ τῶν ἐχόντων μανδύον αὐτῶν ποταμοὺς προσκυνοῦσιν αὐτόν· οἱ δέ γε τῆς ἐκκλησίας ἄρχοντες, μετὰ τῶν ἐπιρριπταρίων καὶ ἱματίων.

Περὶ πενθίμων βασιλικῶν φορεμάτων.

Πατρὸς βασιλέως ἀποθανόντος, ἢ μητρὸς, ἢ γυναικὸς αὐτοῦ, ἢ μὴν υἱοῦ καὶ *ἐγγόνου βασιλέων ὄντων ὁ κρατῶν, λευκὰ φορέματα φορεῖ μέχρι καιροῦ, ὅσον ἂν βούλοιτο, εἶτα κίτρινα ἄνευ μαργελλίων, καὶ μετὰ ταῦτα λαμπροφορεῖ. εἰ δὲ θεῖος ἢ θεία πρὸς πατρὸς, ἢ ἀδελφὸς αὐτοῦ δεσπότης ὢν, ἤτε καὶ μὴ, ἢ ἀδελφὴ, ἢ υἱὸς

* ἐκγόνου.

*κήδι-

Ac ſummi quidem ſacerdotes poſt ſortitionem ipſorum deſignati à Patriarcha, per dies aliquot à deſignatione ſua faciũt quiſq; preces pro iis qui in poteſtate ſunt populoq; ſubdito, abeuntéſq; honorificè ſalutãt Imperatorem, & legunt illas preces circũſtatione adſiſtente. Archimandritæ verò & [2]Protoſyngeli, adeoq; ductores honoratorum monaſteriorum, poſtquàm ſigillum à Patriarcha acceperunt, abeuntes hi quoq; ſalutant honorificè, & accipiunt ſceptrũ de Imperatoris manu. Summi autẽ ſacerdotes ad ſalutandum Imperatorẽ, vt diximus, venientes cum aliis mandyum ſuum [2]vndulatum habentibus ſalutant ipſum: Principes verò Eccleſiæ cum [3]ſuparis & palliis.

De lugubribus Imperatoris veſtimentis.

Patre Imperatoris mortuo, aut matre, aut vxore eius, aut etiã filio nato cùm Imperatores eſſent, qui Imperiũ tenet, veſtes albas geſtat ad tempus quantum voluerit, deinde citrinas ſine margaritis, poſteà verò ſplendidis veſtibus vtitur. Sin patruus aut amita ex patre, aut frater eius qui ſit aut nõ ſit dominus, aut ſoror, aut filius, tunc etiam fert

* κίτρινα. *κήτρινα μὲν καὶ τότε, χωρὶς δὲ μαργελλίων,
εἶτα μετὰ μαργελλίων. καθ' ὃν δὲ καιρὸν ὁ βα-
σιλεὺς λευχειμονεῖ, ὡς εἴρηται, διὰ τοῖς ἑαυ-
τοῦ γνησίοις, πάντες μελανειμονοῦσιν, οὐκ ἄρ-
χοντες μόνον, ἀλλὰ καὶ τοῦ λαοῦ. οἱ δὲ τοῦ τεθνεῶτος
* κίτρινα. γνήσιοι, τοῦ βασιλέως *κήτρινα φοροῦντος, μέ-
λανα οὗτοι ἐνδύονται ἔμπροσθεν αὐτοῦ ἕως ἡμε-
ρῶν τεσσαράκοντα· καὶ μετὰ ταῦτα ἠεράνεα,
μέχρις ἂν ἀλλάξοι ὁ βασιλεύς· καὶ τότε λαμ-
προφοροῦσι καὶ οὗτοι. ἄνευ δὲ ὧν εἴρηται, εἰ συμ-
βῇ τινα ἕτερον τῶν καθ' αἷμα συγγενῶν αὐτοῦ
* κίτρινα. τελευτῆσαι, οὐδαμῶς φορεῖ *κήτρινα ὁ βασιλεύς.
ἂν δέ τινος τῶν γνησίων αὐτοῦ, ἢ θείου, ἢ ἀνε-
ψιοῦ, ἢ ἐξαδέλφου γυνὴ τελευτήσῃ, ἢ ἀδελφὸς,
ἢ υἱὸς, ὁ τὸν τεθνεῶτα ἀποβαλὼν διαβιβάζει
ἐν τῷ ἑαυτοῦ οἴκῳ τὰς τεταγμένας πενθήμους ἡμέ-
ρας, ἤτοι μέχρι καὶ τῶν νενομισμένων ἐννάδων. καὶ
μετὰ τοῦτο ἔρχεται νυκτὸς, καὶ προσκυνεῖ τὸν βα-
σιλέα μελανειμονῶν. καὶ ἔκτοτε ἐκτὸς μὲν ἐν-
δεδυμένος ἐστὶ μέλανα· τὸν δὲ βασιλέα προσ-
κυνῶν φορεῖ ἠεράνεα. οὐδὲ γὰρ ἐνδεδομένον ἐστὶ
μελανειμονεῖν τινὰ ἐν τῷ παλατίῳ.

Περὶ μελλονύμφης δεσποίνης.

Χρὴ καὶ τοῦτο γινώσκειν, ὅτι δεσποίνης νύμφης
ἐρχομένης ἔξωθεν ἢ διὰ ξηρᾶς, ἢ διὰ θαλάσ-
σης, κατὰ τὴν ἡμέραν καθ' ἣν μέλλει ἀποσωθῆναι εἰς

τὴν

